λόφον τὸν Καπιτώλιον καὶ τερατεύου τὸν οἰωνὸν ἐκεῖνον | τὸν αἴσιον, τὴν 405] τῆς κεφαλῆς ὑπὸ τοῖς βάθροις ἀνάδοσιν καὶ τοῦ Τυ⟨ρ⟩ρηνοῦ τὴν ἐπὶ τούτοις ἐπίκρισιν, ὡς ἔσται τοῦτο Ῥώμη ταῖς πόλεσιν, ὃ καὶ κεφαλὴ χρηματίζει τοῖς μέλεσι· καὶ κλῆσιν ἐπιτίθει τῷ λόφῳ τὸ ξύμβολον, ἵν᾽ εἰσαεὶ μετὰ καὶ τῆς ὀφρύος παραμενεῖ σοι τὸ μυθολόγημα.

10 Ἐγὼ δὲ Κωνσταντῖνον τὸν μέγαν Ῥωμύλῳ μὲν οὐκ ἂν παραβάλοιμι, μὴ οὕτω μαινοίμην ὡς νεανίαν τὸ πολὺ τῆς ἡλικίας μετὰ θρεμμάτων ἐνδιατρίψαντα συνεξετάζειν ἀνδρὶ τῆς αὐτῆς ἄρξαντι πόλεως, οὐχ οἵαν ἐκεῖνος μικρὰν ὑπὸ μικροῖς τοῖς ὅροις περιγράψας ἐδείματο, ἀλλ᾽ ὅσην Αὔγουστοι Καίσαρες ὑπὸ μυρίοις μυριαχόθεν τοῖς τροπαίοις ἐστήσαντο. εἰ δὲ δεῖ σοι καὶ οἰωνὸν ἄγειν ἀντίρροπον, αὐτὸν ἐκεῖνον τὸν ἁπάσης μαντικῆς πατέρα προβαλοῦμαί σοι Πύθιον, ὃς ἐς τοσοῦτον ἠγάσθη τοῦ κάλλους τὴν ἐμὴν ταύτην Ῥώμην καὶ βασιλίδα τῶν πόλεων, ὡς καὶ πήρωσιν ὀφθαλμῶν ἐπονειδίσαι τοῖς ὅσοι τὴν μέν, ὧν εἶχε καλῶν, οὐκ ἐθαύμασαν, ἀλλ᾽ ἑτέραν ἀντιπρόσωπον ἐπ᾽ οὐ καλοῖς τοῖς μέλλουσιν ἐπυργώσαντο. τοιοῦτόν σοι τὸ πατρῷον ἔδαφος, τοιαύτην ἔλαχες τὴν ἐνεγκαμένην, ἐπὶ τοιαύτης ἐτράφης τῆς πόλεως καὶ τὴν τροφὸν οὐ κατῄσχυνας, ἀλλ᾽ ὅσον ταῖς ὥραις ἐκείνη τὸ εὔκρατον, τοσοῦτον σὺ ταῖς ἀρεταῖς ἐπὶ ψυχῆς φέρεις τὸ εὔθετον.

11 Ὀργᾷ μοι καὶ προπηδᾷ τοῦ λόγου τὸ εὔδρομον καὶ τὸ τοῦ γένους θριγγίον ὑπερπηδᾶν οὐκ οἶδ᾽ ὅπως θρασύνεται. καίτοι οὐδὲ τοῦτό σοι ἔξω θαύματος, οὐδὲ γὰρ ἀπὸ σκολόπων καὶ βάτων· οὐδὲ τοῦτόν σοι τὸν θριγγὸν ἡ φύσις ἐπήξατο. ὅμως δ᾽ οὖν ὑπεράλλεται καὶ μόνου σου τοῦ λειμῶνος γλίχεται. ἐγὼ δέ – ἀλλὰ καλὸς μὲν ὁ λειμὼν καλὴ δὲ ἡ βλάστη, ποικίλη δὲ ἡ ἄνθη τερπνὴ δὲ καὶ ἡ τῶν δένδρων πανήγυρις, ἀλλ᾽ οὐδὲν ἧττον καλὸς καὶ ὁ περίβολος καί σου τοῦ λειμῶνος ἐπάξιος. ἢ τίς οὐκ οἶδε τοὺς Ἀριστηνοὺς ἐκείνους τοὺς αὐτὸ τοῦτο κληθέντας ὃ γεγόνασιν ἢ γεγενημένους ὃ προεκλήθησαν; τοὺς ὡς μὲν τὴν κλῆσιν ἀρίστους ὡς δὲ τοῖς ἔργοις οὐδὲν ἧττον ἀποφερομένους τὸ ἄριστον, ἀρίστους ὄντας τῷ ὄντι καὶ τὴν ἀριστωνυμίαν μὴ ψευδομένους καὶ μὴ μάτην φοροῦντας τοὔνομα, ὥστ᾽ εἰ καὶ μήπω τοῖς τὰ τοιαῦτα δεινοῖς ὀνοματοθετεῖν ἔκ γε τῆς φύσεως ἔδοξεν, ἀλλ᾽ οὖν ἐπ᾽ ἐκείνοις τῇ φύσει πάντως ἂν τοῦτο τὸ μέρος ἀπένειμαν.

12 Σὺ μὲν οὖν, ὦ μακάριε καὶ τὰ πάντα ἄριστε, ἐκεῖθεν ἀπὸ τῶν προγόνων ὡς οἷα κλῆρον πατρῷον συνεπεσπάσω τῇ κλήσει τὸ ἄριστον καὶ τὸ χρυσοῦν τοῦτο καὶ μυριοπόθητον ὄνομα οὐ κατεκιβδήλευσας οὐδ᾽ ὑπενόθευσας· ἀλλ᾽ αὐτοῖς ἔργοις ἔσπευσας ἐκμαθεῖν τίς τε ἡ τοῦ ὀνόματος δύναμις καὶ τί σοι τὸ ἄριστον βούλεται. καὶ νῦν γυμνὸν ταῖν χεροῖν ἔχων τὸ καλόν,